Bibliothèque numérique

medic@

**Galien / Jamot, Frédéric (éd.).** **Galenou paraphrasis eis ton tou Mènodotou proteptikon logon epi tas technas / Galeni paraphrasis in Menodoti exhortationem ad Artes**

*Paris, F. Morel, 1583.*
*Cote : 7110*

PARIS biu Santé

**(c) Bibliothèque interuniversitaire de santé (Paris)**
Adresse permanente : http://www.biusante.parisdescartes.fr/histmed/medica/cote?07110x04

© BIU Santé

4

# ΓΑΛΗΝΟΥ

## ΠΑΡΑΦΡΑΣΙΣ ΕΙΣ ΤΟΝ ΤΟΥ ΜΗΝΟΔΟΤΟΥ ΠΡΟ-τρεπτικὸν λόγον ἐπὶ τὰς τέχνας.

## *GALENI PARAPHRASIS in Menodoti exhortationem ad Artes.*

Græca multis in locis, hac editione, castigata sunt.



Βασιλεῖ τ' ἀγαθῷ, κρατερῷ τ' αἰχμητῇ.

LVTETIÆ,

Apud Federicum Morellum Typographum Regium, via Iacobea, ad insigne Fontis.

M. D. LXXXIII.

*EX PRIVILEGIO REGIS.*

© BIU Santé

© BIU Santé



# ΓΑΛΗΝΟΥ ΠΑΡΑΦΡΑΣΤΟΥ ΤΟΥ ΜΗΝΟΔΟΤΟΥ, ΠΡΟ-τρεπτικὸς λόγος ἐπὶ τὰς τέχνας.

Εἰ μὲν μηδ' ὅλως λόγου μέτεστι τοῖς ἀλόγοις ὀνομαζομένοις ζώοις, ἄδηλόν ἐστιν. ἴσως γὰρ εἰ καὶ τοῦ μὴ κατὰ τὴν φωνήν, ὃν καὶ προφορικὸν ὀνομάζουσιν, ἀλλὰ τοῦ γε κατὰ τὴν ψυχήν, ὃν ἐνδιάθετον καλοῦσι, μετέχει πάντα, τὰ μέν, μᾶλλον, τὰ δ', ἧττον. ὅτι μέντοι πλεῖστον ὅσον αὐτῶν διενηνόχασιν οἱ ἄνθρωποι, πρόδηλον ἡμῖν ἐστιν, ὁρῶσι τό γε πλῆθος τῶν τεχνῶν, ὧν μεταχειρίζεται τὸ ζῶον τοῦτο. καὶ ὅτι μόνος ἄνθρωπος, ἐπιστήμης ἐπιδεκτικός, ἣν ἂν ἐθελήσῃ τέχνην, μανθάνει. τὰ μὲν γὰρ ἄλλα ζῶα σχεδὸν ἄτεχνα πάντα ἐστί, πλὴν ὀλίγων δή τινων ἐν αὐτοῖς. ἀλλὰ καὶ ταῦτα φύσει μᾶλλον, ἢ προαιρέσει τεχνῶν τετύχηκεν. ὁ δ' ἄνθρωπος οὔτε τινὸς τῶν παρ' ἐκείνοις ἀμελέτητος, ἀλλὰ καὶ τὴν ὑφαντικὴν ἐμιμήσατο τὰς ἀράχνας, καὶ πλάττει καθάπερ αἱ μέλιτται, καὶ τοῦ νεῖν οὐκ ἀνάσκητός ἐστι, καίτοι πεζὸς ὤν. ἀλλὰ καὶ τῶν θείων τεχνῶν οὐκ ἀπολείπεται, ζηλῶν μὲν τὴν Ἀσκληπιοῦ τέχνην ἰατρικήν, ζηλῶν δ' Ἀπόλλωνος αὐτήν γε ταύτην, καὶ τὰς ἄλλας ἁπάσας ἃς ἔχει, τοξικήν, μουσικήν, μαντικήν. ἔτι τε τῶν μουσῶν τὴν ἑκάστης ἰδίαν. οὐδὲ γὰρ γεωμετρίας, οὐδ' ἀστρονομίας ἀφίσταται. ἀλλὰ καὶ τὰ τῆς γῆς νέρθεν, καὶ τὰ ὕπερθε τοῦ οὐρανοῦ, κατὰ Πίνδαρον, ἐπισκοπεῖ. ἐξεπορίσατο δ'



Galenou paraphrasis eis ton tou Mènodotou proteptikon logon epi tas technas / ... - page 3 sur 24

© BIU Santé



ἀπὸ φιλοπονίας καὶ τὸ μέγιστον τῶν θείων ἀγαθῶν, φιλοσοφίαν. διὰ ταῦτα τοίνυν καὶ λόγου μέτεστι τοῖς ἄλλοις ζώοις, κατ' ἐξοχὴν αὐτοῦ καὶ ὁ ἄνθρωπος μόνος ὀνομάζεται λογικός. πῶς οὖν οὐκ αἰσχρόν, ᾧ μόνῳ τῶν ἐν ἡμῖν κοινωνοῦμεν θεοῖς, τούτου μὲν ἀμελεῖν, ἐσπουδακέναι δὲ περί τι τῶν ἄλλων, τέχνης μὲν ἀναλήψεως καταφρονοῦντα, τύχῃ δ' ἑαυτὸν ἐπιτρέποντα. ἧς τὴν μοχθηρίαν ἐμφανίσαι βουληθέντες οἱ παλαιοί, γράφοντες καὶ πλάττοντες αὐτὴν οὐ μόνον ἐν εἴδει γυναικὸς ἠρκέσθησαν· καί τοι τοῦθ' ἱκανὸν ἦν ἀνοίας σύμβολον. ἀλλὰ καὶ πηδάλιον ἔδοσαν ἐν χερσὶν ἔχειν αὐτῇ, καὶ τοῖν ποδοῖν ὑπέθεσαν βάσιν σφαιρικήν, ἐστέρησαν δὲ καὶ τοῖν ὀφθαλμοῖν, ἐνδεικνύμενοι διὰ τούτων ἁπάντων τὸ τῆς τύχης ἄστατον. ὥσπερ οὖν ἐν νηὶ χειμαζομένῃ σφοδρῶς, ὡς ἐπικλύζεσθαί τε τοῖς κύμασι καὶ κινδυνεύειν βυθισθῆναι, μοχθηρῶς ἄν τις πράξειεν ἐπιτρέψας τὰ πηδάλια κυβερνήτῃ τυφλῷ· κατὰ τὸν αὐτὸν οἶμαι τρόπον καὶ τῷ βίῳ, μειζόνων ναυαγίων περὶ πολλοὺς οἴκους γιγνομένων, ἢ περὶ τὰ σκάφη κατὰ θάλατταν, οὐκ ὀρθῶς γιγνώσκοντός ἐστιν, ἐπιτρέπειν ἑαυτὸν ἐν τοιαύταις περιστάσεσι πραγμάτων τυφλῇ δαίμονι, μηδ' αὐτῇ βεβαίως ἐστηριγμένῃ. ἔμπληκτός τε γὰρ ἐστὶ καὶ ἄνους εἰς τοσοῦτον, ὡς πολλάκις τοὺς ἀξιολόγους ἄνδρας παρερχομένη, πλουτίζειν τοὺς ἀναξίους, οὐδὲ τούτους βεβαίως, ἀλλ' ὅσον πάλιν οὕτως ἀφαιρεῖσθαι τὰ δοθέντα. ταύτῃ τῇ δαίμονι πλῆθος ἀνδρῶν ἀμαθῶν οὐκ ὀλίγον ἕπεται, μηδέποτ' ἐν τῷ αὐτῷ μενούσῃ διὰ τὸ τῆς βάσεως εὐμετακύλιστον, ἥ τις αὐτὴν ἄγει καὶ φέρει καὶ κατὰ κρημνῶν ἐνίοτε καὶ θαλάττης. ἔνθα συναπόλλυνται μετ' ἀλλήλοις ἑπόμενοι πάντες αὐτῇ. μόνη δ' ἀβλαβὴς ἐκείνη διεξέρχεται, καταγελῶσα τῶν ὀλοφυρομένων τε καὶ καλούντων αὐτήν, ὅτ' οὐδὲν ὄφελος. τὰ μὲν δὴ τῆς τύχης ἔργα τοιαῦτα· τὸν δ' Ἑρμῆν, ἅτε λόγου μὲν ὄντα δεσπότην, ἐργάτην δὲ τέχνης ἁπάσης, θέασαι πάλιν ὅπως ἐξ ὑπεναντίου τῆς

τύχης

© BIU Santé



τύχης κεκοσμήκασι πάλιν οἱ γράφοντές τε καὶ πλάττοντες. νεανίσκος ἐστὶν ὡραῖος, οὐκ ἐπίκλητον οὐδὲ κομμωτικὸν ἔχων κάλλος, ἀλλ' εὐθὺς ὥστε συνεμφαίνεσθαι τὴν τῆς ψυχῆς ἀρετὴν δι' αὐτοῦ. ἔστι δὲ φαιδρὸς μὲν τὰς ὄψεις, δέδορκε δὲ δριμύ, καὶ ἡ βάσις δὲ πάντων σχημάτων ἑδραιότατόν τε καὶ ἀμεταπτωτότατον ἔχει, τὸν κύβον. ἔσθ' ὅτε δὲ καὶ αὐτὸν τὸν θεὸν τούτῳ τῷ σχήματι κοσμοῦσιν. ἴδοις δ' ἂν τοὺς θιασώτας αὐτοῦ, φαιδροὺς μὲν ὁμοίως τῷ καθηγουμένῳ θεῷ, μεμφομένους δ' οὐδέποτε αὐτόν, ὥσπερ οἱ τὴν τύχην, οὐδ' ἀπολειπομένους πότ', οὐδὲ χωριζομένους· ἀλλ' ἑπομένους τε καὶ διαπαντὸς ἀπολαύοντας τῆς προνοίας αὐτοῦ. τοὺς δέ γε τῆς τύχης συνεπομένους, ἅπαντας μὲν ἀργοὺς θεάσῃ, καὶ τεχνῶν ἀμαθεῖς, ὀχουμένους δ' ἐξ ἐλπίδων ἀεί, καὶ θεούσῃ τῇ δαίμονι συνθέοντας, ἐνίους μὲν ἐγγύς, ἐνίους δὲ πορρωτέρω, τινὰς δὲ καὶ τῆς χειρὸς αὐτῆς ἐξημμένους. ἐν τούτοις ἅπασι καὶ τὸν Κροῖσον ἐκεῖνον τὸν Λυδὸν ὄψει, καὶ τὸν Πολυκράτην τὸν σάμιον. καὶ ἴσως θαυμάσεις, τῷ μέν, τὸν Πακτωλὸν ἰδὼν ῥέοντα χρυσόν, τῷ δέ, καὶ τοὺς θαλαττίους ὑπηρετοῦντας ἰχθῦς. μετὰ τούτων δὲ καὶ Κῦρον θεάσῃ, καὶ Πρίαμον, καὶ Διονύσιον. ἀλλὰ τούτων αὐτῶν ὀλίγον ὕστερον ὄψει, Πολυκράτην μὲν ἀνεσταυρωμένον, ὑπὸ Κύρῳ δὲ Κροῖσον, αὐτὸν δὲ τὸν Κῦρον ὑπ' ἄλλοις· ὄψει δὲ καὶ Πρίαμον καθειργμένον, καὶ Διονύσιον ἐν Κορίνθῳ. εἰ δὲ καὶ τοὺς ἄλλους ἐπισκέψαιο τοὺς ἀπωτέρω μὲν αὐτὴν θέουσαν διώκοντας, οὐ μὴν τυχόντας γε, μισήσεις ὅλως τὸν χορόν· εἰσὶ γὰρ ἐνταῦθα καὶ δημαγωγοὶ πολλοί, καὶ ἑταῖραι, καὶ πόρνοι, καὶ προδόται φίλων· εἰσὶ δὲ καὶ φονεῖς, καὶ τυμβωρύχοι, καὶ ἅρπαγες· πολλοὶ δὲ μηδὲ τῶν θεῶν αὐτῶν πεφεισμένοι, ἀλλὰ καὶ τούτων ἱερὰ συλήσαντες. ὁ δ' ἕτερος τῶν χορῶν, πάντες μὲν κόσμιοι καὶ τεχνῶν ἐργάται. οὐ θέουσι δέ, οὐδὲ βοῶσιν, οὐδ' ἀλλήλοις μάχονται· ἀλλ' ἐν μέσοις μὲν αὐτοῖς ὁ θεός, ἀμφ' αὐτὸν δὲ ἅπαντες ἐν τάξει κεκοσμημένοι, χώραν ἕκαστος τὴν



Galenou paraphrasis eis ton tou Mènodotou proteptikon logon epi tas technas / ... - page 5 sur 24

© BIU Santé



ἐκεῖνος ἔδωκεν, οὐκ ἀπολιπόντες· οἱ μὲν, ἔγγιστα τῷ θεῷ καὶ περὶ αὐτὸν ἐν κύκλῳ κεκοσμημένοι, γεωμέτραι, καὶ ἀριθμητικοί, καὶ φιλόσοφοι, καὶ ἰατροί, καὶ ἀστρονόμοι, καὶ γραμματικοί. τούτων δ' ἐφεξῆς ὁ δεύτερος χορὸς, ζωγράφοι, πλάσται, γραμματισταί, τέκτονές τε, καὶ ἀρχιτέκτονες, καὶ λιθογλύφοι, καὶ μετ' αὐτοὺς δὲ ἡ τρίτου τάξις, αἱ λοιπαὶ τέχναι πᾶσαι, κατὰ μέρη μὲν οὕτω κεκόσμηνται· πάντες δὲ πρὸς τὸν θεὸν ἀποβλέπουσι κοινὸν, τῷ παρ' αὐτοῦ προστάγματι πειθόμενοι. θεάσῃ δὲ καὶ ταῦτα πολλοὺς μετ' αὐτοῦ τοῦ θεοῦ. τετάρτην δὲ τινα τάξιν ἀπὸ τῶν ἄλλων ἔκκριτον, οὐχ οἷοί τινες ἦσαν οἱ κατὰ τὰς τύχης· οὐ γὰρ ἀξιώμασι πολιτικοῖς, οὐδὲ γένους ὑπεροχαῖς, οὐδὲ πλούτῳ τοὺς ἀρίστους ὁ θεὸς οὗτος εἴθισται κρίνειν· ἀλλὰ τοὺς καλῶς μὲν βιοῦντας, ἐν δὲ ταῖς ἑαυτῶν τέχναις προέχοντας, ἑπομένους δὲ τοῖς προστάγμασιν αὐτοῦ, καὶ νομίμως τὰς τέχνας ἐργαζομένους, τιμᾷ τε καὶ περὶ τῶν ἄλλων ἄγει, περὶ αὐτὸν ἔχων ἀεί. τοῦτον, οἶμαι, τὸν χορὸν νοήσας ὁποῖός ἐστιν, οὐ μόνον ζηλώσῃς, ἀλλὰ καὶ προσκυνήσῃς. Σωκράτης ἐστὶν ἐν αὐτῷ, καὶ Ὅμηρος, καὶ Ἱπποκράτης, καὶ Πλάτων, καὶ οἱ τούτων ἐρασταί, οὓς ἴσα καὶ τοῖς θεοῖς σέβομεν, οἷα ὑπαρχοί τινες καὶ ὑπηρέται τοῦ θεοῦ. τῶν δ' ἄλλων ἁπάντων, οὐκ ἔστιν ὅστις ἠμελήθη ποτὲ πρὸς αὐτοῦ· οὐ μόνον γὰρ τῶν παρόντων πεφρόντικεν, ἀλλὰ καὶ πλέουσι σύμπλους ἐστὶ, καὶ ναυαγούντων οὐκ ἀπολείπεται. Ἀρίστιππος γοῦν, ἐπειδή ποτε πλέων τοῦ σκάφους ἀπολλυμένου, ἐπὶ τὰς Συρακουσίων ἠϊόνας ἐξεβράσθη, πρῶτον μὲν ἐθάρρησε, θεασάμενος ἐπὶ τῆς ψάμμου διάγραμμα γεωμετρικόν· ἐλογίσατο γὰρ εἰς Ἕλληνάς τε καὶ σοφοὺς ἄνδρας, οὐκ εἰς βαρβάρους ἥκειν. ἔπειτα παραγενόμενος εἰς τὸ Συρακουσίων γυμνάσιον, καὶ ταυτὶ τὰ ἔπη φθεγξάμενος,

» Τίς τὸν πλανήτην Οἰδίπουν καθ' ἡμέραν
» Ταῖς νῦν σπανιστοῖς δέξεται δωρήμασι·

προσιόν-

© BIU Santé



προσιόντας τέ τινας ἔχειν αὐτῷ, καὶ γνωρίζοντας ὅς τις εἴη, καὶ πάντων ὧν ἐδεῖτο, μεταδιδόντας εὐθέως. ὡς δ' εἰς Κυρήνην αὐτοῦ τὴν πατρίδα μέλλοντές τινες πλεῖν, ἐπυνθάνοντο, μή τι τοῖς οἰκείοις ἐπιστέλλει, κελεύειν αὐτοῖς, ἔφη, ταῦτα κτᾶσθαι τὰ κτήματα, ἃ καὶ ναυαγήσαντι συνεκκολυμβήσῃ. πολλοὶ γὰρ τῶν κακοδαιμόνων καὶ πάντα πρὸς τὸν πλοῦτον ἀποβλεπόντων, ἐν τοιαύταις πραγμάτων περιστάσεσι γινόμενοι, χρυσὸν ἢ ἄργυρον ἐξαψάμενοί τε καὶ περιθέμενοι τῷ σώματι, προσαπώλεσαν αὐτοῖς καὶ τὴν ψυχήν· οὐδὲ τοῦτο δυνάμενοι συνιδεῖν, ὅτι καὶ τῶν ἀλόγων ζώων αὐτοὶ πρῶτοι τὰ ταῖς τέχναις κεκοσμημένα μᾶλλον ἀσπάζονται· καὶ γὰρ τοὺς πολεμικοὺς ἵππους, καὶ τοὺς θηρευτικοὺς κύνας περὶ τῶν ἄλλων τιμῶσι. καὶ τοὺς μὲν οἰκέτας ἐκδιδάσκονται τέχνας, πάμπολυ πολλάκις εἰς αὐτοὺς ἀργύριον ἀναλίσκοντες, ἑαυτῶν δ' ἀμελοῦσι. καίτοι οὐκ αἰσχρὸν, τὸν οἰκέτην μὲν ἐνίοτε δραχμῶν εἶναι μυρίων ἄξιον, αὐτὸν δὲ τὸν δεσπότην αὐτοῦ, μηδεμιᾶς; καὶ τί λέγω μιᾶς· οὐδ' ἂν προῖκά τις τὸν τοιοῦτον λάβοι. μή ποτε αὐτοὺς μόνους ἠτιμάκασιν, ἐκ πάντων μηδεμίαν ἐκμαθόντες τέχνην; ὅταν γὰρ καὶ τὰ ἄλογα τῶν ζώων ἔν τε γυμνικοῖς ἐπιτηδεύμασι παιδεύωσι, καὶ οἰκέτην ἀργὸν καὶ ἄτεχνον, οὐδενὸς ἄξιον εἶναι νομίζωσιν, ἐπιμελῶνται δὲ καὶ τῶν χωρίων, καὶ τῶν ἄλλων κτημάτων, ὅπως ἕκαστον εἰς δύναμιν ὅτι βέλτιστον ᾖ, μόνων δ' ἑαυτῶν ἀμελῶσι, μηδ' εἰ ψυχὴν ἔχουσι γινώσκοντες, εὔδηλον ὅτι τοῖς ἀποβλήτοις τῶν οἰκετῶν ἐοίκασιν. ὥστε τις ἐπιστὰς ἀνδρὶ τοιούτῳ, προσηκόντως ἂν εἴποι πρὸς αὐτόν· ὦ ἄνθρωπε, οἰκία μέν σοι εὖ ἔχει, καὶ τἀνδράποδα πάντα, καὶ ἵπποι δὴ, καὶ κύνες, καὶ χωρία, καὶ ὅσα κέκτησαι, διάκειται καλῶς· αὐτὸν δέ σε, οὐκ ἀγαθὴ κομιδὴ ἔχει. καλῶς οὖν καὶ ὁ Δημοσθένης, καὶ ὁ Διογένης· ὁ μὲν, χρυσᾶ πρόβατα καλῶν τοὺς πλουσίους καὶ ἀπαιδεύτους· ὁ δὲ, ταῖς ἐπὶ τῶν κρημνῶν συκαῖς ἀπεικάζων αὐτούς· ἐκείνων τε γὰρ τὸν καρπὸν, οὐκ

© BIU Santé



ἀνθρώποις, ἀλλὰ κόρακας ἢ κολοιοὺς ἐσθίειν· τούτων τε τὰ χρήματα, μηδὲν μὲν ὄφελος εἶναι τοῖς ἀστείοις, δαπανᾶσθαι δ' ὑπὸ τῶν κολάκων· οἵ τινες, ἐὰν οὕτως τύχῃ, πάντων αὐτοῖς ἀναλωθέντων, ἀπαντῶντες παρέρχονται, μὴ γνωρίζειν προσποιούμενοι. ὅθεν οὐδ' ὁ ταῖς κρήναις τοὺς τοιούτους εἰκάσας, ἄμουσός τις ἦν. καὶ γάρ τοι καὶ οἱ ἀπὸ τῶν κρηνῶν ὑδρευόμενοι πρόσθεν, ἐπειδὰν μηκέτ' ἔχωσιν ὕδωρ, ἀνασυράμενοι, προσουροῦσι. καὶ ἔστιν εὔλογον, τοὺς διὰ μηδὲν ἄλλ' ἢ τὰ χρήματα περιβλέπτους, ἅμα τῷ στερηθῆναι τούτων, εὐθὺς καὶ τῶν ἄλλων ἃ διὰ ταῦτ' εἶχεν, ἐστερῆσθαι· τί γὰρ ἂν καὶ πάθοιεν, ἴδιον μὲν οὐδὲν ἀγαθὸν κεκτημένοι, ἀεὶ δ' ἐπ' ἀλλοτρίοις καὶ τοῖς παρὰ τῆς τύχης ἐπαιρόμενοι. τοιοῦτοι δέ τινές εἰσι καὶ οἱ τὴν εὐγένειαν προβαλλόμενοι, καὶ φρονοῦντες ἐπ' αὐτῇ μέγα· καὶ γὰρ καὶ οὗτοι ἀποροῦσι τῶν ἰδίων ἀγαθῶν, ἐπὶ τὸ γένος ἥκουσιν. οὐδὲ τοσοῦτον γιγνώσκοντες, ὅτι ἡ ἄρα εὐγένεια αὕτη, ἐφ' ᾗ σεμνύνονται, τοῖς κατὰ πόλιν νομίσμασιν ἔοικεν, ἃ παρὰ τοῖς θεμένοις ἰσχύοντα, παρ' ἄλλοις ἐστὶ κίβδηλα·

» Οὐδ' εὐγένειά σ' ἦρεν εἰς ὕψος μέγα;
» Κακὸν τὸ μ' ἤχειν, τὸ γένος οὐκ ἔβοσκέ με.
» καλὸς οὖν, ἦ φησιν ὁ Πλάτων, θησαυρὸς, αἱ τῶν πατέρων ἀρεταί·
» κάλλιον δ' ἀντιτεῖναι δύνασθαι τὸν τοῦ Σθενέλου λόγον,
» Ἡμεῖς τοι πατέρων μέγ' ἀμείνονες εὐχόμεθ' εἶναι.

ταύτην γὰρ μόνην ἔχομεν ἄν, εἰ δή τις ἐστὶν εὐγενείας χρεία, πρὸς οἰκεῖον παράδειγμα τὸν ζῆλον ἡμῖν γίγνεσθαι· ὡς εἴγε κατὰ πολὺ τῆς τῶν προγόνων ἀρετῆς ἀπολειπόμεθα, λύπη μὲν ἂν εἴη κἀκείνοις, εἴ τις αὐτοῖς ἐστὶν αἴσθησις· αἰσχύνη δ' ἡμῖν αὐτοῖς τοσῷδε μείζων, ὅσῳ καὶ τὸ γένος περιφανέστερον· οἱ μὲν γὰρ ἀμαθεῖς, παντάπασιν ἄσημοι τῷ γένει, τοῦτο γοῦν αὐτὸ κερδαίνουσι, τὸ μὴ γιγνώσκεσθαι τοῖς πολλοῖς ὁποῖοί τινές εἰσιν· ὅσοις δὲ τὸ λαμπρὸν καὶ διάσημον τοῦ γένους

οὐδὲ

οὐδὲ τοῦ λαθεῖν ἐξουσίαν δίδωσι, τί ἄλλο ἢ περιφανέστερον οὗτοι διελέγχουσι· καὶ μὴν γε καὶ καταγινώσκονται μᾶλλον οἱ ἀνάξιοι τοῦ γένους. ὥστ᾽ εἴ καί τις ἠλίθιος ὢν ὑπομιμνήσκοι τὸ λαμπρὸν τοῦ γένους, ἀσυγγνωστότερον ἑαυτοῦ τὸ κακὸν ἀποφαίνει. οὐ γὰρ ὁμοίως ἐξετάζομέν τε καὶ βασανίζομεν τοὺς ἐπιτυχόντας ἀνθρώπους τοῖς ἐκ γένους λαμπροῦ. ἀλλὰ τοὺς μὲν, κἂν μέτριοί τινες ὦσιν, ἀποδεχόμεθα, τῇ δυσγενείᾳ τῆς ἐνδείας τὴν αἰτίαν ἀναφέροντες· τοὺς δὲ, εἰ μηδὲν τῶν προγόνων ἄξιον ἔχοιεν, οὐδέπω θαυμάζομεν, κἂν καὶ τῶν ἄλλων ἁπάντων πολὺ διαφέρωσιν. ὥστ᾽ εἴ τις εὖ φρονεῖ, τέχνης ἀσκήσει προσίτω, δι᾽ ἣν κἂν εὐγενὴς ᾖ, τοῦ γένους οὐκ ἀνάξιος φανεῖται· κἂν μὴ τοιοῦτος ὑπάρχῃ, τὸ γένος αὐτὸς ἐπικοσμήσει, μιμησάμενος τὸν παλαιὸν ἐκεῖνον Θεμιστοκλέα, ὃς ὀνειδιζόμενος ἐπὶ τῷ γένει· ἀλλ᾽ ἐγὼ, τοῖς ἀπ᾽ ἐμαυτοῦ « ἄρξω, ἔφη, τοῦ γένους· καὶ τὸ μὲν ἐμὸν ἀπ᾽ ἐμοῦ γένος ἄρξεται· τὸ « δὲ σὸν, εἰς σὲ τελευτήσει. ὁρᾷς ὡς οὐδὲν κωλύει τὸν σκύθην Ἀνά- « χαρσιν καὶ θαυμάζεσθαί τε καὶ σοφὸν ὀνομάζεσθαι. καί τοι βάρβαρος ἦν τὸ γένος. οὗτός ποτε πρός τινος ὀνειδιζόμενος ὅτι βάρβαρος εἴη καὶ σκύθης· ἐμοὶ μὲν ἡ πατρὶς ὄνειδος, σὺ δὲ τῇ πατρί- « δι· πάνυ καλῶς ἐπιπλήξας τῷ μηδενὸς ἀξίῳ λόγου, μόνον δὲ ἐπὶ τῇ πατρίδι σεμνυνομένῳ· εἰ γὰρ ἐπιστήσαις τοῖς πράγμασι τὸν νοῦν, οὐ διὰ τὰς πόλεις εὑρήσεις μὲν ἐν δόξῃ τοὺς πολίτας γιγνομένους, ἀλλ᾽ αὐτὸ δὴ τοὐναντίον, διὰ τοὺς ἀγαθοὺς ἄνδρας ἐν ταῖς τέχναις, καὶ τὰς πατρίδας αὐτῶν μνημονευομένας· τίς γὰρ ἦν Σταγείρων λόγος, εἰ μὴ διὰ Ἀριστοτέλην· τίς δ᾽ ἂν Σόλων, εἰ μὴ διὰ Ἄρατόν τε καὶ Χρύσιππον· ὅπου καὶ τῶν Ἀθηναίων αὐτῶν μέχρι πόῤῥω τοὔνομα πεφοίτηκεν; οὐ διὰ τὴν τῆς γῆς ἀρετὴν, λεπτόγεως γάρ· ἀλλὰ διὰ τοὺς ἐν αὐτῇ φύντας, οἳ πλεῖστοί τε καὶ ἄριστοι γενόμενοι μετέδοσαν τι καὶ τῇ πατρίδι τοῦ σφετέρου κλέους.



© BIU Santé

© BIU Santé



μάθοις δ' ἂν ἐναργέστατα τὸ τοῦτον ἀληθὲς ὄν, εἰ τὸν Ὑπέρβολον ἢ τὸν Κλέωνα λογίσαιο, τοσοῦτον ἀπὸ τῶν Ἀθηναίων κερδήσαντας, ὅσον ἄν τις εἰς περιφάνειαν κακῶν ἐπικτήσαιτο. Ἦν ὅτε σύας Βοιώτιον ἔθνος ἔνεπον, ὁ Πίνδαρός φησι. καὶ πάλιν ὁ αὐτὸς, Εἰ ἐκφεύγομεν Βοιωτίαν ὗν, ἀξιῶν ὅλου σχεδὸν ἔθνους τὸν ἐπ' ἀμαθίᾳ ψόγον ἀπολύεσθαι διὰ τὴν ἑαυτοῦ μουσικήν. ἐπαινέσῃ δ' ἄν τις καὶ τὸν Ἀθήνῃσι νομοθέτην, ὃς τὸν μὴ διδάξαντα τέχνην, ἐκώλυε πρὸς τοῦ παιδὸς τρέφεσθαι· τέχνης ἁπάσης κατ' ἐκεῖνον μάλιστα τὸν χρόνον ἀσκουμένης, ἡνίκ' ὡραιότατα φαίνηται τὰ σώματα, πολλοῖς συνέβη περιβλέπτοις διὰ κάλλος γεγενημένοις, ἀμελῆσαι τῆς ἑαυτῶν ψυχῆς, εἶθ' ὕστερον, ὅτ' οὐδὲν ὄφελος, λέγειν, Εἴθ' ὤφελεν τὸ κάλλος, ὅ με διώλεσε, Κακῶς ὀλέσθαι. τηνικαῦτα δ' αὖθις καὶ τὸ τοῦ Σόλωνος ὑπέρχεται, σκοπεῖσθαι κελεύοντος ἐν τοῖς μάλιστα τὸ τέλος τοῦ βίου. εἶτα ἐπὶ τῷ γήρᾳ λοιδοροῦνται, δέον ἑαυτοῖς· καὶ τὸν Εὐριπίδην ἐπαινοῦσι λέγοντα· οὐ γὰρ ὄφελος εἶναι
Περαιτέρω τὸ κάλλος ἢ μέσῳ λαβεῖν.

ἄμεινον οὖν ἐστιν, ἐγνωκότας, τὴν μὲν τῶν μειρακίων ὥραν, τοῖς ἠρινοῖς ἄνθεσιν ἐοικυῖαν, ὀλιγοχρόνιόν τε τὴν τέρψιν ἔχουσαν· ἐπαινεῖν τε καὶ τὴν λεσβίαν λέγουσαν·

Ὁ μὲν γὰρ καλὸς, ὅσον ἰδεῖν πέλεται·
Ὁ δὲ κἀγαθὸς, αὐτίκα καὶ καλὸς ἔσται.

πείθεσθαι δὲ καὶ Σόλωνι τὴν αὐτὴν γνώμην ἐνδεικνυμένῳ. τὸ δὲ γῆρας καθάπερ χαλεπὸν ἐφεδρεύοντα χειμῶνα δεόμενον, οὐχ ὑποδημάτων μόνον καὶ ἐσθῆτος, ἀλλὰ καὶ οἰκήσεως ἐπιτηδείας καὶ μυρίων ἄλλων, παρασκευάζεσθαι πρὸς αὐτὸ, καθάπερ ἀγαθὸν κυβερνήτην ἐκ πολλοῦ πρὸς χειμῶνα· μοχθηρὸν γὰρ τὸ,

Ῥεχθὲν δέ τε νήπιος ἔγνω.

πρὸς τί γὰρ ἂν καὶ φαίη τις εἶναι χρήσιμον ἀνάσκητον νέου κάλλος·

ἀεργε

Galenou paraphrasis eis ton tou Mènodotou proteptikon logon epi tas technas / ... - page 10 sur 24

© BIU Santé



ἆρά γε εἰς πόλεμον; καὶ μὴν οὐκ ἀστόχως τις ἐπιφωνήσειε τοῖς τοιούτοις·

Ἀλλὰ σύ γ' ἱμερόεντα μετέρχεο ἔργα γάμοιο·
Ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σαυτῆς ἔργα κόμιζε. καὶ γὰρ ὁ
Νιρεὺς κάλλιστος μὲν ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν,
Ἀλλ' ἀλαπαδνὸς ἔην. καὶ διὰ τοῦθ' ἅπαξ αὐτοῦ

μόνον ἐμνημόνευσεν Ὅμηρος ἐν νεῶν καταλόγῳ, πρὸς ἐπίδειξιν, ἐμοὶ δοκεῖ, τῆς τῶν καλλίστων ἀνδρῶν ἀχρηστίας, ὅταν αὐτοῖς ὑπάρχῃ μηδὲν ἄλλο τῶν εἰς τὸν βίον χρησίμων. οὐδὲ μὴν εἰς πόρον χρημάτων, εἰ καί τινες τῶν κακοδαιμόνων λέγειν τολμῶσι, τὸ κάλλος ἐστὶ χρήσιμον· ὁ μὲν γὰρ ἐντέλειός τε καὶ ἔνδοξος καὶ βέβαιος χρηματισμὸς, ἀπὸ τέχνης γίνεσθαι πέφυκεν· ὁ δ' ἀπὸ σώματος καὶ κάλλους, αἰσχρός ἐστι καὶ διὰ πάντων ἐπονείδιστος. χρὴ τοίνυν τὸν νέον πειθόμενον τῷ παλαιῷ παραγγέλματι, τὴν ἑαυτοῦ μορφὴν ἐν κατόπτρῳ θεασάμενον, εἰ μὲν καλὸς εἴη τὴν ὄψιν, ἀσκῆσαι τοιαύτην εἶναι καὶ τὴν ψυχὴν, ἄτοπον ἡγησάμενον ἐν καλῷ σώματι ψυχὴν αἰσχρὰν οἰκεῖν. εἰ δ' αἰσχρὸς αὐτῷ φαίνοιτο τὴν τοῦ σώματος ἰδέαν εἶναι, τοσῷδε μᾶλλον ἐπιμεληθῆναι τῆς ψυχῆς, ἵν' ἔχῃ λέγειν τὸ ὁμηρικόν·

Ἄλλος δ' αὖ τ' εἶδος μὲν ἀκιδνότερος πέλει ἀνὴρ,
Ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει· οἱ δέ τ' ἐς αὐτὸν
Τερπόμενοι λεύσσουσιν· ὁ δ', ἀσφαλέως ἀγορεύει
Αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισιν·
Ἐρχόμενον δ' ἀνὰ ἄστυ, θεὸν ὡς εἰσορόωσιν.

ἐξ ἁπάντων τοίνυν τῶν εἰρημένων τοῖς γε μὴ παντάπασιν ἀνοήτοις ἐναργῶς φαίνεται, μήτ' ἐπὶ γένους λαμπρότητι, μήτ' ἐπὶ πλούτῳ τε καὶ κάλλει θαῤῥήσαντα, καταφρονῆσαι τέχνης ἀσκήσεως. αὐτάρκη μὲν οὖν καὶ ταῦτα· κάλλιον δ' ἴσως προσθεῖναι καὶ τὸ τοῦ Διογένους, οἷον ἀγαθόν τινα ἐπῳδόν. ὃς ἑστιώμενος παρά τινι,



Galenou paraphrasis eis ton tou Mènodotou proteptikon logon epi tas technas / ... - page 11 sur 24

τὴν μὲν ἑαυτοῦ πάντων ἀκριβῶς προνενοημένου, μόνου δ' ἑαυτοῦ παντάπασιν ἠμεληκότι, χρεμψάμενος ὡς πτύσων, εἶτ' ἐν κύκλῳ περισκοπήσας, εἰς οὐδὲν μὲν τῶν πέριξ ἔπτυσε, αὐτοῦ δὲ μόνῳ προσέπτυσε τῷ δεσπότῃ τῆς οἰκίας. ἀγανακτοῦντος δ' αὐτοῦ, καὶ τὴν αἰτίαν ἐρωτῶντος, οὐδὲν, ἔφησεν, ὁρᾶν οὕτως ἠμελημένον τῶν κατὰ τὴν οἰκίαν, ὡς ἐκεῖνον· τοὺς γὰρ τοίχους ἅπαντας, ἀξιολόγοις γραφαῖς κεκοσμῆσθαι· τὸ δ' ἔδαφος ἐκ ψήφων πολυτελῶν συγκεῖσθαι, θεῶν εἰκόνας ἔχον ἐξ αὐτῶν διατετυπωμένας· ἅπαντα τὰ σκεύη λαμπρὰ καὶ καθαρά, καὶ τὴν στρωμνήν, καὶ τὰς κλίνας εἰς κάλλος ἐξησκῆσθαι· μόνον δ' ἐκεῖνον ὁρᾶν ἠμελημένον. εἴθισται δ' ἅπασιν ἀνθρώποις, εἰς τοὺς ἀτιμοτάτους τῶν παρόντων τόπων ἀποπτύειν. μὴ τοίνυν ἐάσῃς, ὦ μειράκιον, ἄξιον τοῦ προσπτύεσθαι γενέσθαι σεαυτόν, μηδ' ἂν ἅπαντά σοι τἄλλα κάλλιστα διακεῖσθαι δοκῇ· σπάνιον μὲν γάρ ἐστι καὶ τὸ τυχεῖν αὐτῶν ὁμοῦ πάντων, ὡς εὐφυῆ τε, καὶ πλούσιον εἶναι, καὶ καλὸν ἅμα τὸν αὐτόν· εἰ δ' ἄρα καὶ συνέλθοι ποτέ, δεινὸν ἂν εἴη μόνον ἐν ἅπασι τοῖς ὑπάρχουσιν ἑαυτὸν κατάπτυστον εἶναι. ἄγετ' οὖν, ὦ παῖδες, ὁπόσοι τῶν ἐμῶν ἀκηκοότες λόγων, ἐπὶ τέχνης μάθησιν ὥρμησθε, μή τις ὑμᾶς ἀπατεὼν καὶ γόης ἀνὴρ παρακρουσάμενός ποτε, ματαιοτεχνίαν ἢ κακοτεχνίαν διδάξηται· γιγνώσκοντας ὡς ὁπόσοις τῶν ἐπιτηδευμάτων οὐκ ἔστι τὸ τέλος βιωφελές, ταῦτ' οὐκ εἰσὶ τέχναι. καὶ περὶ μὲν τῶν ἄλλων ὑμᾶς καὶ πάνυ πέποιθα γιγνώσκειν, ὅτι μηδὲν τούτων ἐστὶ τέχνη, οἷον τό τε πεταυρίζειν, καὶ βαδίζειν ἐπὶ σχοινίων λεπτῶν, ἐν κύκλῳ τε περιδινεῖσθαι, μὴ σκοτούμενον, οἷα τὰ Μυρμηκίδου τοῦ Ἀθηναίου, καὶ Καλλικράτους τοῦ Λακεδαιμονίου. τὸ δὲ τῶν ἀθλητῶν ἐπιτήδευμα μόνον ὑποπτεύω, μή ποτ' ἄρα τοῦτο καὶ ῥώμην σώματος ἐπαγγελλόμενον, καὶ τὴν παρὰ τοῖς πολλοῖς δόξαν ἐπαγόμενον, δημοσίᾳ παρὰ τοῖς πατράσι τετιμημένον ἡμερησίαις ἀργυρίου δόσεσι, καὶ

ὅλως

© BIU Santé

© BIU Santé



ὅλως ἴσα τοῖς ἀρίστοις τετιμημένον, ἐξαπατήσῃ τινὰ τῶν νέων, ὡς προκριθῆναί τινος τέχνης. ὅθεν ἄμεινον προδιεσκέφθαι περὶ αὐτοῦ. εὐεξαπάτητος γὰρ ἕκαστος ἐν οἷς ἐστιν ἀπροσκεπτος. τὸ δὴ τῶν ἀνθρώπων γένος, ὦ παῖδες, ἐπικοινωνεῖ θεοῖς τε καὶ τοῖς ἀλόγοις ζώοις. τοῖς μὲν, καθόσον λογικόν ἐστι· τοῖς δὲ, καθόσον θνητόν. βέλτιον οὖν ἐστι τῆς πρὸς τὰ κρείττονα κοινωνίας αἰσθανομένους, ἐπιμεληθῆναι παιδείας, ἧς τυχόντες μὲν, τὸ μέγιστον τῶν ἀγαθῶν ἕξομεν· ἀποτυχόντες δὲ, οὐκ αἰσχυνούμεθα τῶν ἀργοτάτων ζώων ἐλαττούμενοι. σώματος δ᾽ ἄσκησις ἀθλητικὴ, ἀποτυγχανομένη μὲν, αἰσχίστη· ἐπιτυγχανομένη δὲ, τῶν ἀλόγων ζώων οὐδέπω κρείττων· τίς γὰρ λεόντων, ἢ ἐλεφάντων ἀλκιμώτερος; τίς δ᾽ ὠκύτερος λαγωοῦ; τίς δ᾽ οὐκ οἶδεν ὡς καὶ τοὺς θεοὺς δι᾽ οὐδὲν ἄλλο ἢ διὰ τὰς τέχνας ἐπαινοῦμεν; ὡς καὶ τῶν ἀνθρώπων τοὺς ἀρίστους, θείας ἀξιωθῆναι τιμῆς, οὐχ ὅτι καλῶς ἔδραμον ἐν τοῖς ἀγῶσιν, ἢ δίσκον ἔρριψαν, ἢ διεπάλαισαν, ἀλλὰ διὰ τὴν ἀπὸ τῶν τεχνῶν εὐεργεσίαν. Ἀσκληπιός γέ τοι καὶ Διονύσιος, εἴτ᾽ ἄνθρωποι πρότερον ἤστην, εἴτ᾽ ἀρχῆθεν θεοὶ, τιμῶν ἀξιοῦνται μεγίστων· ὁ μὲν, διὰ τὴν ἰατρικήν· ὁ δ᾽, ὅτι τὴν περὶ τὰς ἀμπέλους ἡμᾶς τέχνην ἐδίδαξεν. εἰ δ᾽ οὐκ ἐθέλεις ἐμοὶ πείθεσθαι, τόν γε θεὸν αἰδέσθητι τὸν Πύθιον· οὗτός ἐστι ὁ καὶ τὸν Σωκράτην εἰπὼν ἀνδρῶν ἁπάντων σοφώτατον εἶναι, καὶ τῷ Λυκούργῳ προσφωνήσας, ὧδ᾽ εἶπεν·

« Ἥκεις, ὦ Λυκόεργε, ἐμὸν ποτὶ πίονα νηὸν,
« Ζηνὶ φίλος, καὶ πᾶσιν ὀλύμπια δώματ᾽ ἔχουσι·
« Δίζω ἤ σε θεὸν μαντεύσομαι, ἢ καὶ ἄνδρα·
« Ἀλλ᾽ ἔτι καὶ μᾶλλον θεὸν ἔλπομαι, ὦ Λυκόεργε.

ὁ δὲ αὐτὸς οὗτος θεὸς καὶ τὸν Ἀρχίλοχον τεθνεῶτα φαίνεται τιμῶν οὐ τὰ μέτρια. τὸν γοῦν φονέα βουλόμενον εἰσελθεῖν εἰς τὸν νεὼν αὐτοῦ, διεκώλυσεν εἰπών·



Galenou paraphrasis eis ton tou Mènodotou proteptikon logon epi tas technas / ... - page 13 sur 24

© BIU Santé



» Μουσάων θεράποντα κατέκλασες, ἔξιθι νοοῦ.

λέγε δή μοι καὶ σὺ τὰς τῶν ἀθλητῶν προσαγορεύσεις· ἀλλ' οὐκ ἐρεῖς, ὅ, τι μηδ' ἔχεις εἰπεῖν, εἰ μή τι τοὺς μάρτυρας ὡς οὐκ ἀξιόχρεω κατέγνωκας· ἐμφαίνειν γὰρ ἔοικάς τι τοιοῦτον, ὅταν ἐπὶ τοὺς πολλοὺς τὸν λόγον ἄγῃς μάρτυρας, καὶ τὸν παρὰ τούτων ἔπαινον προχλεύζῃ. καίτοι οὔτε νοσῶν εὖ οἶδ' ὅτι, τοῖς πολλοῖς ἂν ἐπιτρέψαις σαυτόν· ἀλλ' ὀλίγοις δή τισιν ἐξ ἁπάντων, καὶ τούτων τοῖς ἰατρικωτάτοις· οὔτ' ἂν πλέων ἅπασι τοῖς συμπλέουσιν, ἀλλ' ἑνὶ τῷ κυβερνήτῃ. ἤδη δὲ κἀπὶ τῶν σμικροτάτων, τέκτονι μὲν, τεκταινόμενος· ὑποδήματος δὲ χρῄζων, τῷ σκυτοτόμῳ. πῶς ἂν οὖν ἔνθα περὶ πρωτείων ὁ ἀγών ἐστι, σαυτῷ δίδως τῆς κρίσεως τὴν ἐξουσίαν, ἀφελόμενος αὐτὴν τῶν σοφωτέρων ἢ κατὰ σαυτόν· παρίημι γὰρ τὸ γε νῦν εἶναι μεμνῆσθαι τῶν θεῶν. ἄκουσον οὖν ὅπως Εὐριπίδης φρονεῖ περὶ τῶν ἀθλητῶν·

» Κακῶν γὰρ ὄντων μυρίων καθ' Ἑλλάδα,  
» Οὐδὲν κάκιόν ἐστιν ἀθλητῶν γένους,  
» Οἳ πρῶτα μὲν ζῆν οὔτε μανθάνουσιν εὖ,  
» Οὔτ' ἂν δύναιντο· πῶς γὰρ ὅς τις ἔστ' ἀνὴρ,  
» Γνάθου τε δοῦλος, νηδύος θ' ἡττημένος,  
» Κτήσαιτ' ἂν ὄλβον εἰς ὑπεκτροφὴν πατρός·  
» Οὐδ' αὖ πένεσθαι κἀξυπηρετεῖν τύχαις  
» Οἷοί τ'· ἔθη γὰρ οὐκ ἐθισθέντες καλὰ,  
» Σκληρῶς διαλλάσσουσιν εἰς τἀμήχανον.

ὅτι δὲ καὶ τῶν ἐπιτηδευομένων αὐτοῖς ἕκαστον ἄχρηστόν ἐστιν, ἄκουε πάλιν εἴπερ θέλεις, ἅ φησι·

» Τίς γὰρ παλαίσας εὖ, τίς ὠκύπους ἀνὴρ,  
» Ἢ δίσκον ἄρας, ἢ γνάθον πλήξας καλῶς,  
» Πόλει πατρῴᾳ στέφανον ἤρκεσεν λαβών·

εἰ δὲ καὶ τούτων ἔτι λεπτομερέστερον ἀκούειν ἐθέλεις, ἄκουε πάλιν ἅ φησι·

Πότερα μαχοῦνται πολεμίοισιν, ἐν χεροῖν
Δίσκους ἔχοντες· ἢ δι' ἀσπίδων χεροῖν
Θείνοντες, ἐκβαλοῦσι πολεμίους πάτρας·
Οὐδείς, σιδήρου ταῦτα μωραίνει πέλας. Στρα.

πότερον οὖν Εὐριπίδου μὲν καὶ τῶν τοιούτων καταγνῶμεν, τοῖς δὲ φιλοσόφοις ἐπιτρέψομεν τὴν κρίσιν· ἀλλὰ καὶ παρὰ τούτων ἁπάντων ὥσπερ ἐξ ἑνὸς στόματος ὡμολόγηται, φαῦλον εἶναι τὸ ἐπιτήδευμα. οὐδὲ μὴν οὐδὲ τῶν ἰατρῶν τις ἐπῄνεσεν αὐτό· πρῶτον μὲν γὰρ Ἱπποκράτους ἀκούσῃ λέγοντος· Διάθεσις ἀθλητικὴ οὐ φύσει, ἕξις ὑγιεινὴ κρείττων. ἔπειτα δὲ καὶ τῶν ἄλλων ἁπάντων τῶν μετ' αὐτὸν ἀρίστων ἰατρῶν. ὅλως μὲν οὖν ἐπὶ μάρτυρας οὐκ ἐβουλόμην κρίνεσθαι· ῥητορικὸν γὰρ τὸ τοιοῦτον μᾶλλον ἢ τιμῶντος ἀλήθειαν ἀνδρός· ὅμως δ' ἐπειδή τινες ἐπὶ τὸν τῶν πολλῶν ἔπαινον καταφεύγουσι, καὶ τὴν παρὰ τούτων κενὴν δόξαν, ἀφέντες αὐτὸ ἐπιτήδευμα γυμνὸν τῶν ἔξωθεν, σκοπεῖν ἠναγκάσθην, καὶ τούτοις προσχρήσασθαι τοὺς μάρτυρας, ἵν' ὅτι μηδ' ἐνταῦθα πλέον ἔχουσί τι γιγνώσκωσιν. ὅθεν δὲ τὸ τῆς Φρύνης εὔκαιρον ἤδη μοι διηγήσασθαι. αὕτη ποτ' ἐν συμποσίῳ, παιδιᾶς τοιαύτης γινομένης, ὡς ἕκαστον ἐν μέρει προστάξαι τοῖς συμπόταις, ἃ βούλοιτο. θεασαμένη παρούσας γυναῖκας ἀγχούσῃ τε καὶ ψιμμυθίῳ, καὶ φύκει κεκαλλωπισμένας, ἐκέλευσεν ὕδατος κομισθέντος ἀρυσαμένας ταῖς χερσὶ προσενεγκεῖν ἅπαξ αὐτῷ τῷ προσώπῳ, καὶ μετὰ τοῦτο εὐθέως ἀπομάξασθαι σινδονίῳ. καὶ αὐτὴ πρώτη τοῦτ' ἔπραξε. ταῖς μὲν οὖν ἄλλαις ἁπάσαις σπίλου τὸ πρόσωπον ἐπληρώθη, καὶ ἦν ὁμοιοτάτας ἰδεῖν τοῖς μορμολυκείοις· αὐτὴ δὲ καλλίων ἐφάνη· μόνη γὰρ ἦν ἀκαλλώπιστός τε καὶ αὐτοφυῶς καλή, μηδεμιᾶς πανουργίας κομμωτικῆς δεομένη.

© BIU Santé

© BIU Santé



ὥσπερ οὖν τὸ ἀληθινὸν κάλλος ἀκριβῶς ἐξετάζεται μόνον αὐτὸ καθ'
ἑαυτό, τῶν ἔξωθεν αὐτῷ προσιόντων ἁπάντων γυμνωθὲν· οὕτω καὶ
τὴν ἀθλητικὴν ἐπιτήδευσιν ἐξετάζεσθαι προσήκει μόνην, εἴ τι
φαίνοιτο ἔχειν χρήσιμον, ἢ κοινῇ ταῖς πόλεσιν, ἢ ἰδίᾳ τοῖς μεταχει-
ριζομένοις αὐτήν. ἀγαθῶν οὖν τῶν ἐν τῇ φύσει, τῶν μὲν, περὶ
ψυχήν· τῶν δέ, περὶ σῶμα. τῶν δ', ἐκτός· καὶ παρὰ ταῦτα οὐδενὸς
ἄλλου γένους ἀγαθῶν ἐπινοουμένου, ὅτι μὲν τῶν ψυχικῶν ἀγαθῶν,
οὐδ' ὄναρ ποτὲ μετειλήφασιν οἱ ἀθλοῦντες, εὔδηλον παντί· τὴν
ἀρχὴν γάρ, οὐδ' εἰ ψυχὴν ἔχουσι γιγνώσκουσι, τοσοῦτον ἀποδέουσι
τοῦ λογικὴν αὐτὴν ἐπίστασθαι. σαρκῶν γὰρ ἀεὶ καὶ αἵματος ἀθροίζον-
τες πλῆθος, ὡς ἐν βορβόρῳ πολλῷ τὴν ψυχὴν ἑαυτῶν ἔχουσι κατ-
εσβεσμένην, οὐδὲν ἀκριβὲς νοῆσαι δυναμένην, ἀλλ' ἄνοιαν ὁμοίως
τοῖς ἀλόγοις ζῴοις. ἴσως δ' ἀμφισβητήσειαν ὡς τῶν περὶ τὸ σῶμα
τινὸς ἀγαθῶν ἐπήβολοι. πότερον οὖν τῆς τιμιωτάτης ὑγείας ἀμ-
φισβητήσουσιν; ἀλλ' οὐδένας ἄλλους ἂν εὕροις ἐν σφαλερωτέρᾳ
διαθέσει σώματος, εἴπερ Ἱπποκράτει δεῖ πιστεύειν, εἰπόντι, τὴν
» καὶ ἐπ' ἄκρον εὐεξίην σφαλερὴν ὑπάρχειν, ἣν μεταδιώκουσιν οὗτοι.
» καὶ δὴ καὶ ὅτι ἄσκησις ὑγιείης, ἀκορίη τροφῆς, ἀοκνίη πόνων,
» Ἱπποκράτει καλῶς εἰρημένον, ἐπαινεῖται πρὸς ἁπάντων· οἱ δὲ,
τοὐναντίον ἐπιτηδεύουσιν, ὑπερπονοῦντές τε καὶ ὑπερπιμπλάμενοι,
καὶ ὅλως τὸν τοῦ παλαιοῦ λόγον, ὡς κορυβαντιῶντες, κατεγνωκότες· ὁ
» μὲν γάρ, ὑγιεινὴν δίαιταν ὑποτιθέμενος ἔλεγε· πόνοι, σιτία, ποτά,
» ὕπνοι, ἀφροδίσια, πάντα μέτρια· οἱ δὲ τὰ γυμνάσια παρὰ τοῦ
προσήκοντος ἑκάστης ἡμέρας διαπονοῦσι, τροφάς τε προσφέ-
ρονται σὺν ἀνάγκῃ πολλάκις, ἄχρι μέσων νυκτῶν ἐκτείνοντες τὴν
ἐδωδήν, ὡς προσηκόντως ἄν τινα ἐπ' αὐτῶν εἰπεῖν,

» Ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ
» Εὗδον παννύχιοι, μαλακῷ δεδμημένοι ὕπνῳ·

Ἀλλ'

© BIU Santé



Ἀλλ' οὐκ ἀθλητὰς κακοδαίμονας ὕπνος ἔτερπεν. ἀνάλογον τοίνυν τούτοις καὶ ἡ τῶν ὕπνων αὐτοῖς ἔχει συμμετρία· ἡνίκα γὰρ οἱ κατὰ φύσιν βιοῦντες ἀπὸ τῶν ἔργων ἔρχονται, ἐδεσμάτων δεόμενοι, τηνικαῦτα ἤτοι διανίστανται τῶν ὕπνων, ὥστε ἐοικέναι τὸν βίον αὐτῶν ὑῶν διαγωγῇ. πλὴν γ' ὅσον οἱ μὲν ὕες οὐχ ὑπερπονοῦσιν, οὐδὲ πρὸς ἀνάγκην ἐσθίουσιν· οἱ δὲ καὶ ταῦτα πάσχουσι, καὶ ῥοδοδάφναις ἐνίοτε τὰ νῶτα διακναίονται. ὁ μὲν οὖν παλαιὸς Ἱπποκράτης, πρὸς οἷς εἶπεν ἔμπροσθεν, ἔτι καὶ ταῦτα φησί, τὸ κατὰ πολὺ καὶ ἐξαπίνης πληροῦν ἢ κενοῦν, ἢ θερμαίνειν ἢ ψύχειν, ἢ ἄλλως ὁπωσοῦν τὸ σῶμα κινεῖν, σφαλερόν. πᾶν γάρ φησι, τὸ πολύ, τῇ φύσει πολέμιον. οἱ δ' οὔτε τούτων ἐπαΐουσιν, οὔτε τῶν ἄλλων, ὅσα καλῶς εἰπόντος ἐκείνου παραβαίνουσιν· ἀλλὰ πάντ' ἐξ ὑπεναντίου τοῖς ὑγιεινοῖς παραγγέλμασιν ἐπιτηδεύουσι. καὶ διὰ τοῦτ' ἂν ἔγωγε φαίην ἄσκησιν, οὐχ ὑγιείας, ἀλλὰ νόσου μᾶλλον εἶναι τὸ ἐπιτήδευμα. τοῦτο δ' οἶμαι καὶ αὐτὸν τὸν Ἱπποκράτην φρονεῖν, ἐπειδὰν λέγῃ· διάθεσις ἀθλητικὴ οὐ φύσει, ἕξις ὑγιεινὴ κρείττων· οὐ γὰρ μόνον τοῦ κατὰ φύσιν ἐστερῆσθαι τὸ ἐπιτήδευμα, δι' ὧν εἶπε ἐδήλωσεν, ἀλλ' οὐδ' ἕξιν ὠνόμασε τὴν διάθεσιν αὐτῶν, ἀφαιρούμενος καὶ τῆς προσηγορίας αὐτούς, ἧ προσαγορεύουσιν ἅπαντες οἱ παλαιοὶ τοὺς ὄντως ὑγιαίνοντας· ἡ μὲν γὰρ ἕξις, ἐμμονός τις ἐστὶ καὶ δυσαλλοίωτος διάθεσις· ἡ δὲ τῶν ἀθλητῶν ἐπ' ἄκρον εὐεξία, σφαλερά τε καὶ εὐμετάπτωτος· οὔτε γὰρ πρόσθεσιν ἔτι διὰ τὴν ἀκρότητα χωρεῖ, καὶ τῷ μὴ δύνασθαι μένειν ἐπὶ ταὐτοῦ, μηδ' ἀτρεμεῖν, λοιπὴν ἔχει τὴν ἐπὶ τὸ χεῖρον ὁδόν. οὕτω μὲν ἀθλοῦσιν αὐτοῖς, διάκειται τὸ σῶμα· καταλύσασι δέ, πολὺ δή τι χεῖρον· ἔνιοι μὲν γὰρ μετ' ὀλίγον ἀποθνήσκουσιν· ἔνιοι δ' ἐπὶ πλέον ἥκουσιν ἡλικίας, ἀλλ' οὐδὲ αὐτοὶ γηρῶσιν· οὐδὲ κἂν ἀφίκωνταί ποτε εἰς τοῦτο, τῶν ὁμηρικῶν οὐδὲν ἀπολείπονται λιτῶν, χωλοί τε, ῥυσοί τε, παραβλῶπες, ὀφθαλμῶν

© BIU Santé



ἀποστερούμενοι. ὡς γὰρ τὰ διασεισθέντα τῶν τειχῶν ὑπὸ μηχανημάτων,
ἑτοίμως ὑπὸ τῆς τυχούσης διαλύεται βλάβης, οὔτε σεισμὸν, οὔτ' ἄλλην
τινὰ τραχυτέραν δυνάμενα φέρειν περίστασιν· οὕτω καὶ τὰ τῶν ἀθλη-
τῶν σώματα, σαθρὰ καὶ ἀσθενῆ ταῖς κατ' αὐτὴν τὴν ἐπιτήδευσιν γεγο-
νότα πληγαῖς, ἕτοιμα πρὸς τὸ πάσχειν ἐστὶν ἐπὶ ταῖς τυχούσαις
προφάσεσιν· οἱ μὲν γὰρ ὀφθαλμοὶ περιωρυγμένοι πολλάκις, ὅταν ἡ
δύναμις οὐκέτι ἀντέχῃ, πληροῦνται ῥευμάτων. οἱ δ' ὀδόντες, ἅ-
τε διασεσεισμένοι πολλάκις, ἐπιλειπούσης ἐν τῷ χρόνῳ τῆς δυνά-
μεως αὐτοῖς, ἑτοίμως ἐκπίπτουσι. τὰ δὲ λυγισθέντα τῶν ἄρθρων,
ἀσθενῆ πρὸς πᾶσαν τὴν ἔξωθεν βίαν γίνεται, καὶ πᾶν ῥῆγμα καὶ
σπάσμα ῥᾳδίως κινεῖται. σωματικῆς μὲν οὖν ὑγιείας ἕνεκα, φανε-
ρὸν ὡς οὐδὲν ἄλλο γένος ἀθλιώτερόν ἐστι τῶν ἀθλητῶν. ὥστ' εἰκότως
ἄν τις εἴποι εὐφυῶς ὀνομάζεσθαι τῶν ἀθλητῶν προσαγορευθέν-
των, ἢ ἀπὸ τοῦ ἀθλητοῦ τὴν προσηγορίαν τῶν ἀθλίων ἐσχηκό-
των, ἢ κοινῶς ἀμφοτέρων, καθάπερ ἀπὸ πηγῆς μιᾶς τῆς ἀθλιότη-
τος ὠνομασμένων. ἀλλ' ἐπειδὴ καὶ περὶ τοῦ μεγίστου τῶν σωματικῶν
ἀγαθῶν, τῆς ὑγιείας, ἐσκέμμεθα, μεταβῶμεν ἐπὶ τὰ λοιπά. τὰ
μὲν δὴ περὶ κάλλους οὕτως αὐτοῖς ἔχει, ὡς μὴ μόνον ὠφελεῖσθαί τι
πρὸς τῆς ἀθλήσεως τὴν φύσιν, ἀλλὰ καὶ πολλοὺς αὐτῶν πάνυ συμ-
μέτρως ἔχοντας τῶν μελῶν, οἱ γυμνασταὶ παραλαβόντες, ὑπερ-
πιάναντές τε καὶ διασάξαντες αἵματί τε καὶ σαρξὶν, εἰς τοὐναντίον
ἤγαγον. ἐνίων δὲ καὶ τὰ πρόσωπα παντάπασιν ἄμορφα καὶ δυσ-
ειδῆ κατέστησαν, καὶ μάλιστα τῶν παγκράτιον ἢ πυγμὴν ἀσκησάν-
των. ὅταν δὲ καὶ τῶν μελῶν τι τελέως ἀποκλάσωσιν ἢ διαστρέψωσιν,
ἢ τοὺς ὀφθαλμοὺς ἐκκόψωσι, τότ', οἶμαι, τότε καὶ μάλιστα τὸ τῆς
ἐπιτηδεύσεως αὐτῶν ἀποτελούμενον κάλλος ἐναργῶς ὁρᾶται.
ταῦτα μὲν οὖν αὐτοῖς ὑγιαίνουσιν, εἰς κάλλος εὐτύχηται· καταλύ-
σασι δὲ τὰ λοιπὰ τοῦ σώματος αἰσθητηρίων προσαπόλλυται, καὶ
πάντα

© BIU Santé



πάντα, ὡς ἔφην, τὰ μὲν διαστρεφόμενα, παντοίας ἀμορφίας αἴτια γίγνεται. ἀλλ' ἴσως τῶν εἰρημένων οὐδενός, ἰσχύος δὴ ἀντιποιήσονται, τοῦτο γάρ, εὖ οἶδα, ἐν φήσουσιν ἰσχυρότατον πάντων εἶναι. ποίας ὦ πρὸς θεῶν ἰσχύος καὶ ποῦ χρησίμης; πότερον τῆς εἰς τὰ γεωργικὰ τῶν ἔργων; πάνυ μὲν οὖν καλῶς ἢ σκάπτειν, ἢ θερίζειν, ἢ ἀροῦν, ἢ τι τῶν ἄλλων τῶν κατὰ γεωργίαν δύνανται. ἀλλ' ἴσως εἰς τὰ πολεμικά; τὸν Εὐριπίδην αὖθις μοι καλεῖ, ὅστις αὐτοὺς ὑμνήσει λέγων·

Πότερα μαχοῦνται πολεμίοισιν, ἐν χεροῖν
Δίσκους ἔχοντες; τῷ γὰρ ὄντι,
Οὐδεὶς σιδήρου ταῦτα μωραίνει πέλας.

ἀλλὰ πρὸς κρύος καὶ θάλπος ἰσχυροί, αὐτοῦ γε τοῦ Ἡρακλέους ζηλωταί, ὡς ἐνὶ καὶ χειμῶνι καὶ θέρει σκέπεσθαι δέρματι, ὡς ἀνυπόδετοι διατελεῖν ὑπαίθριοι κοιμᾶσθαι, χαμευνεῖν· ἐν ἅπασι γὰρ τούτοις, τῶν νεογνῶν παίδων εἰσὶν ἀσθενέστεροι. ἐν τίνι τοίνυν ἔτι τὴν ἰσχὺν ἐπιδείξονται; ἢ ἐπὶ τίνι μέγα φρονήσουσιν; οὐ γὰρ δή που ὅτι τοὺς σκυτοτόμους, ἢ τέκτονας, ἢ τοὺς οἰκοδόμους, οἷοί τ' εἰσὶ καταβάλλειν ἐν παλαίστρᾳ τε καὶ σταδίῳ. τάχα οὖν ἐπὶ τῷ δι' ὅλης ἡμέρας κονίεσθαι, δικαιοῦσιν· ἀλλὰ τοῦτό γε καὶ τοῖς ὄρτυξι καὶ τοῖς πέρδιξιν ὑπάρχει. καὶ εἴπερ ἐπὶ τούτῳ μέγα χρὴ φρονεῖν, ἐπὶ τῷ δι' ὅλης ἡμέρας βορβόρῳ λούεσθαι. ἀλλὰ νὴ Δία τῶν ἱερουργημένων ἕνα ταύρων ἀναθέμενος τοῖς ὤμοις ὁ Μίλων ἐκεῖνος ὁ κροτωνιάτης διεκόμισέ ποτε τὸ στάδιον. ὦ τῆς ὑπερβαλλούσης ἀνοίας, ὡς μηδὲ τοῦτο γιγνώσκειν, ὅτι πρὸ βραχέος τὸ αὐτὸ τοῦτο σῶμα τοῦ ταύρου ζῶντος, ἐβάσταζεν ἡ ψυχὴ τοῦ ζώου, καὶ πολλῷ γ' ἀκοπώτερον ἢ ὁ Μίλων ἦγε, καὶ θεῖν ἐδύνατο βαστάζουσα· ἀλλ' ὅμως οὐδενὸς ἦν ἀξία παραπλησίως τῇ Μίλωνος. ἐδήλωσε δὲ καὶ ἡ τελευτὴ τἀνδρὸς ὅπως ἦν ἀνόητος, ὅς γε θεασάμενός ποτε νεανίσκον σχίζοντα κατὰ μῆκος ξύλα ἐν θέσει σφηνῶν, ἐκεῖνον μὲν



Galenou paraphrasis eis ton tou Mènodotou proteptikon logon epi tas technas / ... - page 19 sur 24

© BIU Santé



ἀπέστησε καταγελάσας, αὐτὸς δὲ διὰ τῶν ἑαυτοῦ χειρῶν μόνων ἐτόλμησε διασπᾶν αὐτό· κἄπειθ' ὅσον εἶχεν ἰσχύος εὐθὺς ἐν τῇ πρώτῃ προσβολῇ πληρώσας, διέστησε μὲν ἑκατέρωσε τὰ μέρη τοῦ ξύλου· τῶν σφηνῶν δ' ἐκπεσόντων ἐνθάδε, τὸ λοιπὸν τοῦ ξύλου μέρος ἀδυνατῶν διαστῆσαι, μέχρι πολλοῦ μὲν ἀντεῖχεν, ὕστερον δὲ νικηθεὶς, οὐκ ἔφθασε κομίσασθαι τὰς χεῖρας, ἀλλ' ὑπὸ τῶν μερῶν τοῦ ξύλου συνελθόντων ἀλλήλοις καταληφθεῖσαι, συνετρίβησαν μὲν αὗται πρῶται, θανάτου δ' οἰκτροῦ τῷ Μίλωνι κατέστησαν αἴτιαι. πολὺ γοῦν ὤνησεν αὐτὸν εἰς τὸ μηδὲν παθεῖν ὁ νεκρὸς ταῦρος ἐν τῷ σταδίῳ βαστασθείς, ἢ τὸ κοινὸν τῶν πολιτῶν ἔσωσεν ἄν, ἡνίκα πρὸς τὸν βάρβαρον ἐπολέμουν, ἡ τοιαύτη τοῦ Μίλωνος ἐνέργεια περὶ τὸν ταῦρον, ἀλλ' οὐχ ἡ Θεμιστοκλέους σοφία, πρῶτον μὲν ὑποκριναμένου καλῶς τὸν χρησμόν, εἶτα στρατηγήσαντος ὡς ἐχρῆν· σοφὸν γὰρ ἓν βούλευμα,
» τὰς πολλὰς χεῖρας νικᾷ· σὺν ὅπλοις δ' ἀμαθία χεῖρον ἢ κακόν. ὅτι μὲν οὖν εἰς οὐδὲν τῶν κατὰ τὸν βίον ἔργων χρήσιμος ἡ τῶν ἀθλητῶν ἄσκησις, εὖ οἶδ' ὅτι σαφὲς ἤδη γέγονεν. ὅτι δὲ καὶ ἐν ἑαυτοῖς οἷς ἀσκοῦσιν οὐδενός εἰσιν ἄξιοι λόγου, μάθοιτ' ἄν, εἰ διηγησαίμην ὑμῖν τὸν μῦθον ἐκεῖνον, ὃν τῶν οὐκ ἀμούσων ἀνδρῶν τις ἐντείνας ἔπεσι διεσκεύασεν. ἔστι δὲ οὗτος· Εἰ Διὸς γνώμῃ πᾶσι
» τοῖς ζώοις ὁμόνοια καὶ κοινωνία γένοιτο πρὸς τὸν βίον, ὡς τὸν ἐν
» Ὀλυμπίᾳ κήρυκα, μὴ μόνον ἀνθρώπους τοὺς ἀγωνιουμένους κα-
» λεῖν, ἀλλὰ καὶ πᾶσιν ἐπιτρέπειν τοῖς ζώοις εἰς τὸ στάδιον ἥκειν, ἕν,
» οὐδένα ἄνθρωπον οἶμαι στεφθήσεσθαι. ἐν μὲν γὰρ δολιχῷ, ὑπέρ-
» τατος, φησίν, ὁ ἵππος ἔσται·
» Τὸ στάδιον δὲ, λαγωὸς ἀποίσεται· ἐν δὲ διαύλῳ,
» Δορκὰς ἀριστεύσει. μερόπων δ' ἐναρίθμιος οὐδείς, ἐν ποσίν.
» ὦ κοῦφοι ἀσκητῆρες, ἄθλιοι ἄνδρες. ἀλλ' οὐδὲ τὴν ἀφ' Ἡρα-

κλέους

κλέους τις, ἐλέφαντος ἢ λέοντος ἰσχυρότερος ἂν φανείη. οἶμαι δὲ ὅτι καὶ ταύρου πυγμῇ στεφθήσεται. καὶ ὄνος, φησί, λὰξ ὅτι εἰ βούλεται ἐρείσας, αὐτὸν τὸν στέφανον οἴσεται. αὐτὰρ ἐν ἱστορίῃ πολυπείρῳ γράψεται ὄνος, ὅτι παγκράτιον νίκησέ ποτε ἄνδρας. εἰκοστὴ δὲ καὶ πρώτη Ὀλυμπιὰς ἦν, ὅτ' ἐνίκησεν ὁ Σκηνῆς. πάνυ χαριέντως οὗτος ὁ μῦθος ἐπιδείκνυσι τὴν ἀθλητικὴν ἰσχύν, οὐ τῶν ἀνθρωπίνων οὖσαν ἀσκημάτων. καίτοι γ' εἰ μηδὲν ἰσχύϊ προφέρουσι τῶν ζώων οἱ ἀθληταί, τίνος ἂν ἔτι τῶν ἄλλων ἐπήβολοι γενηθεῖεν ἀγαθῶν· εἰ δὲ καὶ τὴν ἡδονὴν σώματός τις ἀγαθὸν εἶναι φαίη, οὐδὲ ταύτης αὐτῆς αὐτοῖς μέτεστιν, οὔτ' οὖν ἀθλοῦσιν, οὔτε καταλύσασιν, εἴγε παρὰ μὲν τὸν τῆς ἀθλήσεως χρόνον, ἐν πόνοις τε καὶ ταλαιπωρίαις εἰσίν, οὐ γυμναζόμενοι μόνον, ἀλλὰ καὶ πρὸς ἀνάγκην ἐσθίοντες. ἡνίκα δ' καὶ καταλυσάμενοι τύχοιεν, ἀνάπηροι τὰ πλεῖστα μέρη τοῦ σώματος γίνονται. τάχ' οὖν ἐπὶ τῷ χρήματα πάντων ἀθροίζειν πλεῖστα σεμνυνοῦνται. καὶ μὴν ἔστιν ὑμῖν θεάσασθαι πάντας αὐτοὺς ὀφείλοντας, οὐ μόνον ἐκεῖνον τὸν χρόνον καθ' ὃν ἀθλοῦσιν· ἀλλὰ καὶ καταλυσαμένους τὴν ἄσκησιν, οὐδ' ἂν εὕροις ἀθλητὴν οὐδενὸς πλουσιώτερον, ἑνὸς τῶν ἐπιτυχόντων οἰκονόμων ἀνδρὸς πλουσίου. ἔστι δὲ οὐδ' αὐτὸ τὸ πλουτεῖν ἐξ ἐπιτηδεύματος ἀξιόλογον ἁπλῶς, ἀλλὰ τὸ τοιαύτην ἐπίστασθαι τέχνην, ἣ καὶ ναυαγήσασι συνεκκολυμβήσει, ὅπερ οὔτε τοῖς διοικοῦσι τὰ τῶν πλουσίων, οὔτε τοῖς τελώναις ἢ τοῖς ἐμπόροις ὑπάρχει. καίτοι πλουτοῦσιν ἐξ ἐπιτηδευμάτων οὗτοι μάλιστα. ἀλλ' ἐὰν ἀπολέσωσι τὰ χρήματα, συναπολλύουσιν αὐτοῖς καὶ τὰς πράξεις, ἀφορμῆς μέν τινος χρημάτων εἰς αὐτὰς δεόμενοι. τῷ δ' οὐκ ἔχειν ταύτην ἄρξασθαι τῆς ἀρχαίας πράξεως ἀδυνατοῦντες. οὐδὲ γὰρ δανείζει τις αὐτοῖς χωρὶς ἐνεχύρων ἢ ὑποθηκῶν. ὥστε εἰ καὶ πρὸς χρηματισμὸν ἀσφαλῆ τε καὶ

© BIU Santé



οὐκ ἄδοξον ἀξιοῖ τις ἡμᾶς παρεσκευάσθαι, τέχνην ἀσκητέον ἐστὶ διὰ παντὸς τοῦ βίου, καὶ παραμυθούμενον. ἀλλὰ διὰ τῆς οὔσης διαφορᾶς τῆς ποσότητος ἐν ταῖς τέχναις· ἔνιαι μὲν γὰρ αὐτῶν λογικαί τ᾽ εἰσὶ καὶ σεμναί, τινὲς δ᾽ εὐκαταφρόνητοι, καὶ διὰ τῶν τοῦ σώματος πόνων, ἃς δὴ βαναύσους τε καὶ χειρωνακτικὰς ὀνομάζουσιν· ἄμεινον ἂν εἴη, τοῦ προτέρου γένους τῶν τεχνῶν μετέρχεσθαί τινα. τὸ γάρ τοι δεύτερον γένος αὐτῶν, ἀπολείπειν εἴωθε γηρῶντας τοὺς τεχνίτας. εἰσὶ δ᾽ ἐκ τοῦ προτέρου γένους, ἰατρική τε, καὶ ῥητορική, καὶ μουσική, γεωμετρία τε, καὶ ἀριθμητική, καὶ λογιστική, καὶ ἀστρονομία, καὶ γραμματική, καὶ νομική. πρόσθες δ᾽ εἰ βούλει ταύταις, πλαστικήν τε καὶ γραφικήν. εἰ γὰρ καὶ διὰ τῶν χειρῶν ἐνεργοῦσιν, ἀλλ᾽ οὐκ ἰσχύος νεανικῆς δεῖται τὸ ἔργον αὐτῶν. ἐκ τούτων οὖν τινὰ τῶν τεχνῶν ἀναλαμβάνειν τε καὶ ἀσκεῖν χρὴ τὸν νέον, ὅτῳ μὴ παντάπασιν ἡ ψυχὴ βοσκηματώδης ἐστί· καὶ μᾶλλόν γε τὴν ἀρίστην ἐν ταύταις, ἥτις, ὡς ἡμεῖς φαμὲν, ἐστὶν ἰατρική. τοῦτο δ᾽ αὐτὸ δηλωτέον ἐφεξῆς.

Τέλος τοῦ προτρεπτικοῦ.

© BIU Santé



# ΕΚ ΤΗΣ ΞΕΝΟΦΩΝΤΟΣ ΠΡΟΣ Κρίτωνα ἐπιστολῆς, περὶ παιδείας.

Εὖ γὰρ ἴσθι Σωκράτην πρὸς ἡμᾶς πολλάκις εἰπόντα, ὅτι οἱ τῶν νέων ἵνα πολλὴν μὲν ἔχωσιν οὐσίαν φροντίζοντες, ἵνα δὲ καλοὶ κἀγαθοὶ γένωνται ἀμελοῦντες, ἴσον πεπόνθασι τοῖς ἱπποτρόφοις, καὶ τὰ μὲν πολεμικὰ οὐ διδάσκουσι, τροφὴν δὲ παμπόλλην παρεχομένοις. οὕτω γὰρ πιοτέρους μὲν τοὺς ἵππους χρήσοντας, ἀπείρους δὲ ὧν χρή. εἶναι γὰρ ἵππου ἀρετὴν οὐ τὴν εὐσαρκίαν, τὴν δὲ κατὰ πόλεμον εὐτολμίαν καὶ ἐμπειρίαν. τὰ αὐτὰ δ' οὖν ἐξαμαρτάνειν καὶ τοὺς γῆν πολλὴν κτωμένους τοῖς νέοις, αὐτῶν δὲ μὴ ἐπιμελουμένους. ἃ γὰρ κεκτήσονται, πολλοῦ ἄξια νομισθήσονται, αὐτοὶ δὲ ὀλίγου. προσήκει δὲ τὸ φυλάττον τοῦ κτηθέντος ἀξιοτιμότερον εἶναι. καὶ τοίνυν ὁ τὸν ἑαυτοῦ παῖδα πολλοῦ ἄξιον ἀποδείξας, κἂν ὀλίγα καταλίπῃ, πολλὰ ἔδωκε. γνώμη γὰρ ἡ πλείω ἢ ἐλάττω γῆς, ἀγαθῇ μὲν ἔμμετρα, ἐκμελεῖ δὲ καὶ ἀπαιδεύτῳ, ὀλίγα. σὺ δὲ οὐδὲν πλείω τῶν ἀναγκαίων παρέχεις, ἃ τοῖς μὲν διὰ παιδεύσεως ἰοῦσιν ἀναγκαῖά τε καὶ πλούσια νομίζεται. τοῖς δ' ἀμαθέσι τὸ μὲν ἀλγεινὸν τῆς σαρκὸς ἐκλύει, τὴν δὲ περὶ τοῦ μέλλοντος δυσελπιστίαν οὐ μειοῖ.

© BIU Santé

Galenou paraphrasis eis ton tou Mènodotou proteptikon logon epi tas technas / ... - page 24 sur 24